# TEZAUR LITURGIC

## 21 IUNIE

# PARACLISUL SF.MUCENIC NICHITA NISIROS DE LA HIOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παράκλησις Νεομάρτυρος

# ΝΙΚΗΤΑ τοῦ Νισυρίου

Εὐλογήσατος τοῦ Ἱερέως, ὁ ΡΜΒ΄ ψαλμὸς, τὸ Θεὸς Κύριος· καὶ τὰ Τροπάρια· ἦχος δ΄. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς τοῦ Σωτῆρος εὐκλεὴς Νεομάρτυς, καὶ βοηθὸς τῶν προσιόντων σοι πόθῳ, Νικήτα παμμακάριστε, Μαρτύρων κοινωνὲ, λύτρωσαι τοὺς δούλους σου, ἀπὸ πάσης ἀνάγκης, πρέσβευε ἑκάστοτε, τῇ Ἁγίᾳ Τριάδι, ἵνα ῥυσθῶμεν νόσων καὶ παθῶν, καὶ τῶν πταισμάτων τὴν ἄφεσιν λάβωμεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε…

Ὁ Ν΄ Ψαλμός· καὶ ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Παθῶν ἐπιθέσεσι χαλεπῶν, βαλλόμενος Μάρτυς, καταφεύγω σοι ἐκβοῶν· λύτρωσαι τῆς τούτων με μανίας, τῇ σῇ πρεσβείᾳ Νικήτα μακάριε.

Ἀχείμαστος ὅρμος καὶ γαληνὸς, γένοιτό μου Μάρτυς, ἡ θερμή σου ἐπισκοπὴ, ἐν ταῖς τρικυμίαις ταῖς τοῦ βίου, τὰ δυσχερῆ εὐχερῶς διαλύουσα.

Θεὸν ἐκδυσώπει τὸν ἀγαθὸν, Νικήτα θεόφρον, ἀγαθῦναι μου τὴν ψυχὴν, τὴν κεκαμωμένην τῇ κακίᾳ, καὶ σωτηρίας μοι δοῦναι τὴν ἔλλαμψιν.

Θεοτοκίον.

Ἡλίου νεφέλη τοῦ νοητοῦ, λάμψον μοι ἀκτῖνα, μετανοίας εἰλικρινοῦς, καὶ ἀπάλλαξόν με Θεοτόκε, τῆς ζοφερᾶς ἁμαρτίας καὶ σῶσόν με.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Νεοστήρικτος βάσις, τῶν εὐσεβῶν πέφηνας· ὅθεν τὴν ψυχήν μου Νικήτα, στήριξον δέομαι, φόβῳ τῷ κρείττονι, τὴν χαλεπῶς κλονουμένην, προσβολαῖς ἑκάστοτε, τοῦ πολεμήτορος.

Ἱλαρότητι Μάρτυς, τῆς σῆς σεπτῆς χάριτος, λῦσον τῆς ψυχῆς μου τὸ ἄχθος, καὶ καθιλάρυνον, ταύτης τὴν αἴσθησιν, καὶ θεϊκῆς εὐφροσύνης, τὴν βαρυαλγοῦσαν, καρδίαν πλήρωσον.

Κοσμικῶν με σκανδάλων, καὶ πολλαπλῶν θλίψεων, καὶ ἐπηρειῶν ἐπωδύνων, τοῦ κοσμοκράτορος, Νικήτα λύτρωσαι, καὶ ἐν εἰρήνῃ τελείᾳ, τὴν ζωήν μου ρύθμισον, θείοις ἐντάλμασιν.

Θεοτοκίον.

Ἡλιόμορφε θρόνε, καὶ φωταυγὲς τέμενος, τοῦ Βασιλέως καὶ Κτίστου, Θεοχαρίτωτε, τὸν νοῦν μου λάμπρυνον, τῇ θεουργεῖ σου πρεσβείᾳ, καὶ πρὸς φῶς με ἴθυνον, Παρθένε ἄδυτον.

Διάσωσον, ὦ Νεομάρτυς Νικήτα τῇ σῇ πρεσβείᾳ, ἀπὸ πάσης ἐπιβουλῆς καὶ κακώσεως, τοὺς πεποιθότας τῇ θείᾳ σου ἀντιλήψει.

Ἐπίβλεψον...

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Προστάτης θερμὸς, καὶ μέγα καταφύγιον, καὶ πρέσβυς ταχὺς, πρὸς τὸν Θεὸν τὸν εὔσπλαγχνον, γενοῦ τοῖς σοὶ προστρέχουσιν, ἀθλοφόρε Νικήτα πανεύφημε, τὴν ἐξ ὕψους αἰτούμενος ἡμῖν χρηστότητα Μάρτυς τὴν σωτήριον.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Σωτηρίαν ἐξέτησαι, τὴν κατὰ ψυχὴν καὶ σῶμα μακάριε, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, θρόνῳ τοῦ Δεσπότου παριστάμενος.

Ἀθυμοῦσι παράκλησιν, καὶ ἐταζόμενοις δυσελήτοις πάθεσι, χάριν ἄνωθεν καὶ ἔλεος, βράβευσον Νικήτα θεοδόξαστε.

Ἱλαρὸς ἡμῖν φάνηθι, οἷα στρατιώτης Χριστοῦ περίδοξος, καὶ παράσχου τὰ αἰτήματα, τῶν εἰλικρινῶς παρακαλούντων σε.

Δωρεὰν θείας χάριτος, τῆς ἐν σοὶ οἰκούσης πλουσίως ἔνδοξε, τῇ καρδίᾳ μου πρυτάνευσον, ὡς ἄν γεωργήσῃ τὰ σωτήρια.

Θεοτοκίον.

Ἰατρὸν ἡ κυήσασα, Κόρη καὶ σωτῆρα ἡμῖν τὸν Κύριον, θεραπείας μὲ ἀξίωσον, ἐκ τῆς συνεχούσης ἀσθενείας μου.

ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.

Δίωξον μακρὰν, ἐξ ἡμῶν Νικήτα ἔνδοξε, τὸν ἀρχέκακον καὶ δόλιον ἐχθρὸν, τὸν ἀπαύστως καθ’ ἡμῶν δολιευόμενον.

Ὄμβρησον ἡμῖν, ὡς νεφέλη χαριτόβρυτος, χαρισμάτων οὐρανίων προχοὴν, τῶν παθῶν ἡμῶν σβεννύουσαν τοὺς ἄνθρακας.

Ὕπερθεν ἡμᾶς, μὴ ἐλλείπῃς Μάρτυς ἵλεως, ἐποπτεύων καὶ διέπων ἀσφαλῶς, καὶ ἰθύνων πρὸς τὴν θείαν εὐαρέστησιν.

Θεοτοκίον.

Μύρον τῆς ζωῆς, τὸ ἀκένωτον κυήσασα, μυροθήκη οὐρανίων δωρεῶν, τὴν ψυχήν μου εὐωδίασον Πανάμωμε.

ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ὀλόσωμον, τὴν πληγὴν τῷ δήγματι, τοῦ δολίου ἐδεξάμην Βελίαρ, ἀλλὰ τῇ σῇ προσιὼν ἀντιλήψει, τῆς ποθεινῆς θεραπεύσεως εὔχοιμι· Νικήτα Μάρτυς τοῦ Χριστοῦ, μὴ παρίδης δεινῶς με θλιβόμενον.

Ἱλέωσαι, ταῖς σεπταῖς πρεσβείαις σου, τοῖς ποθοῦσι σε τριπόθητε Μάρτυς, τὸν εὐδιάλλακτον Λόγον καὶ Κτίστην, καὶ τὴν αὐτοῦ ἀγαθότητα μείλιξον, ὡς ἄν δωρήσηται ἡμῖν, τῶν πολλῶν ἁμαρτάδων συγχώρησιν.

Ματαίωσον, καὶ εἰς τὸ τέλος ὄλεσον, τὰς βουλὰς καὶ τὰς σκοτίους Βελίαρ, καὶ τῆς αὐτοῦ κακουχίας περίσωζε, Νικήτα νέε Ἀθλητὰ, τούς θερμῶς προσιόντας τῇ σκέπῃ σου.

Θεοτοκίον.

Ἀκήρατε, Μαριὰμ Μῆτερ ἄνανδρε, θεοχώρητε σκηνὴ Παναγία, ἁμαρτωλῶν ἱλαστήριον μέγα,

ἁμαρτιῶν μου παράσχου τὴν ἄφεσιν, καὶ πρὸς μετάνοιαν στεῤῥὰν, τὴν ψυχήν μου κυβέρνησον δέομαι.

Διάσωσον…
Ἄχραντε…

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.
Νικητάς κατὰ τοῦ δολίου πολεμήτορος εὐπροσδέκτοις σου πρὸς τὸν Χριστὸν παρακλήσεσιν, ἀπεργάζου μυστικῶς ἔνδοξε ἡμᾶς· ἰδοὺ γὰρ πάντες εὐλαβῶς, τῇ σῇ ἁγίᾳ ἀρωγῇ καταφεύγομεν κράζοντες· φύλαττε ἀνωτέρους, κινδύνων καὶ νοσημάτων, Νικήτα νέε Ἀθλητὰ, τοὺς θερμῶς ἐξαιτουμένους σε.

Προκείμενον: *Δίκαιος ὡς φοίνιξ ἀνθήσει…*
Στ.: Θαυμαστὸς ὁ Θεὸς…

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς: Ταῦτα ἐντέλλομαι ἡμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἄν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ’ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου

ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὀνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἅ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν. Ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθη ὁ Παράκλητος, ὅν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός [τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται], ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖται, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστέ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶ· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. δ'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεήμον, ἐλέησόν με ὁ Θεός...*

Πλήρης ὤν ἐλλάμψεως, ὡς ἀθλοφόρος Κυρίου, καὶ χαρᾶς τῆς κρείττονος, ἐντρυφῶν τῷ Πνεύματι ἀγαλλόμενος, σπεῦσον καὶ λύτρωσαι, ἐκ τῶν ἐπελθόντων, πειρασμῶν καὶ περιστάσεων, Νικήτα ἔνδοξε, τοὺς εἰλικρινῶς αἰτουμένους σε, εἰρήνην καὶ

εὐστάθειαν, καὶ τῶν λυπηρῶν ἀπολύτρωσιν, παρέχων ὑψόθεν, τῇ σῇ μαρτυρικῇ ἐπισκοπῇ, θεοφρόνως μέλπουσιν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥωστικῇ σου πρεσβεία, τῶν σωμάτων τὰς νόσους καὶ τῶν ψυχῶν τὰς οὐλὰς, θεράπευσον Νικήτα τῶν σὲ ὑμνολογούντων, καὶ βοόντων ἑκάστοτε· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Τῶν παθῶν μου τὴν φλόγα, τὴν φλογίζουσα Μάρτυς τὴν τάλαινάν μου ψυχὴν, κατάσβεσον τῇ δρόσῳ, τῆς σῆς ἐπιστασίας, καὶ βοῶντα μὲ οἴκτειρον· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Ὑπεράνωθεν Μάρτυς, σῶν προσφύγων καθάπερ χρυσόπτερος ἀετὸς, κατάπτηθι Νικήτα, καὶ σκέπασον τοὺς δούλους, τῶν βελῶν τοῦ ἀλάστορος, πτέρυξι θείαις χρυσαῖς, σεπτῆς σου προμηθείας.

Θεοτοκίον.

Σωτηρίας λιμένα, ἐπιστάμενος Κόρη, τὴν σὴν λαμπρὰν ἀρωγὴν, προστρέχω ταύτῃ πόθῳ, ὡς ἄν τῶν ἐν τῷ βίῳ λυτρωθῶ περιστάσεων, καὶ πληρωθῶ Ἀγαθὴ, τῆς παρὰ σοῦ γαλήνης.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Γενοῦ Νικήτα, καταφυγὴ καὶ προστάτης, τοῖς προστρέχουσι τῇ σῇ ἐπιστασίᾳ, τούτοις ὁμαλίζων, τὰ δυσχερῆ τοῦ βίου.

Ἔπιδε Μάρτυς, Χριστομιμήτῳ σου γνώμῃ, τοῖς αἰτοῦσί σε ἀνενδοιάστῳ πίστει καὶ τούτοις παράσχου, ὑγείαν τὴν κατ᾽ ἄμφῳ.

Ῥῦσαι κινδύνων, καὶ συμφορῶν ἀνηκέστων, καὶ ἁπάσης με ἐχθρῶν κακεντρεχείας, ἵνα σὲ γεραίρω, Νικήτα Νεομάρτυς.

Θεοτοκίον.

Ἄλυτον βίον, ἐν μετανοίᾳ τελείᾳ, βιοῦν Ἄχραντε, ἀξίωσον Παρθένε, τοὺς ὑπερυψοῦντας, τὴν σὴν μεγαλωσύνην.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Σαρκός μου τὴν ὀδύνην, καὶ ψυχῆς τὸν πόνον, μαρτυρικῇ σου πρεσβείᾳ θεράπευσον, καὶ χαρμονῆς οὐρανίου με πλῆσον ἔνδοξε.

Ἰθύνων οὐρανόθεν, πρὸς ὁδὸν εἰρήνης, μὴ διαλίπῃς Νικήτα περίδοξε, τοὺς εὐσεβεῖ διανοίᾳ σὲ μεγαλύνοντας.

Μαρτύρων ταῖς χορείαις, ἤδη συγχορεύων, καὶ τῷ στεφάνῳ τῆς δόξης κοσμούμενος, τῆς τῶν παθῶν ἀδοξίας ἡμᾶς ἀπάλλαξον.

Ὁλόφωτον παστάδα, νῦν κεκληρωμένος, νεῦσον Νικήτα φωνῇ τοῦ ἱκέτου σου, καὶ τὴν παροῦσάν μου δέξου, Μάρτυς παράκλησιν.

Θεοτοκίον.

Ὑψίστου θεία πύλη, ἄνοιξον μοι πύλας τῆς μετανοίας Παρθένε Πανύμνητε, τὰς πρὸς ζωὴν ὁδηγούσας τὴν ἀτελεύτητον.

Τό Ἄξιον ἐστιν καὶ τὰ Μεγαλυνάρια.

Χαίροις τῆς Νισύρου ἄνθος τερπνὸν, καὶ τῶν Ἀθλοφόρων, θιασώτης καὶ κοινωνὸς· χαίροις ὁ ἐν Χίῳ, γενναίως ἐναθλήσας, Νικήτα Νεομάρτυς, ἡμῶν ἀντίληψις.

Ἡλικία Μάρτυς ἐν ἀτελεῖ, Χριστὸν ἐξηρνήσω, ἀλλ' ὡς ἔγνωκας τὴν δεινὴν, πτῶσιν ἐπανῆλθες, πρὸς τὴν πατρώαν πίστιν, καὶ ὑπὲρ ταύτης χαίρων, Νικήτα ἤθλησας.

Θείαις ὑποθήκαις στοιχειωθεὶς, ταῖς τοῦ θεοφόρου Μακαρίου τοῦ ἱεροῦ, πρὸς τοῦ μαρτυρίου, ἀνέδραμες τὸ ὕψος, Νικήτα ἀφειδήσας ἀκμῆς νεότητος.

Ὅλος τῇ ἀγάπῃ ἀναφλεχθεὶς, Χριστοῦ τοῦ Σωτῆρος, οἷον ἄνθραξ θεοειδὴς, ἐν ἀγαλλομένῃ, καρδίᾳ πρὸς τοὺς πόνους, ἐξέδραμες Νικήτα, τοὺς τῆς ἀθλήσεως.

Νικήσας Νικήτα τὸν δυσμενῆ, ἄθλους σου ἐνθέους, φερωνύμως παρὰ Χριστοῦ, τὸ τῆς νίκης στέφος, ἐδέξω ἐπαξίως, βληθείς σου τὸν αὐχένα, Μάρτυς γηθόμενος.

Πᾶσαι τῶν Ἀγγέλων...

Τρισάγιον, τὰ συνήθη τῆς Παρακλήσεως καὶ Ἀπόλυσις, μετὰ τοῦ Ἀπολυτικίου, πρό τοῦ τὸ Δι' εὐχῶν.

